Ακαδημία Αθηνών / Academy of Athens

**ποικίλος.** Ποικίλος/γεμάτος ἀπὸ διαφορετικὰ πράγματα, various/full of different things, Δημόκριτος 149 *ποικίλον τι καὶ πολυπαθὲς κακῶν ταμιεῖον.*

**ποιπνύειν.** Πνευστιῶ/ἀσθμαίνω, be short of breath/be out of breath, Ἐμπεδοκλῆς 73.2 *ὡς δὲ τότε χθόνα Κύπρις, ἐπεί τ' ἐδίηνεν ἐν ὄμβρῳ, εἴδεα ποιπνύουσα θοῷ πυρὶ δῶκε κρατῦναι.*

**πολέμιος 1.** Πολέμιος/ἐχθρικός, hostile, Φιλόλαος 11.24 *ψεῦδος δὲ οὐδαμῶς ἐς ἀριθμὸν ἐπιπνεῖ· πολέμιον γὰρ καὶ ἐχθρὸν τᾷ φύσει τὸ ψεῦδος* Δημόκριτος 259.2 *ὅκωσπερ περὶ κιναδέων τε καὶ ἑρπετέων γεγράφαται τῶν πολεμίων, οὕτω καὶ κατὰ ἀνθρώπων* **2.** Πολέμιος/ἐχθρός, enemy, Δημόκριτος 214 *ἀνδρεῖος οὐχ ὁ τῶν πολεμίων μόνον, ἀλλὰ καὶ ὁ τῶν ἡδονῶν κρέσσων* 259.4 *κατὰ νόμους τοὺς πατρίους κτείνειν πολέμιον ἐν παντὶ κόσμῳ.*

**πόλεμος** (ἀντίθ. *εἰρήνη*). Πόλεμος, war, Ἡράκλειτος 53 *Πόλεμος πάντων μὲν πατήρ ἐστι* 67 *ὁ θεὸς ἡμέρη εὐφρόνη, χειμὼν θέρος, πόλεμος εἰρήνη, κόρος λιμός* 80 *εἰδέναι δὲ χρὴ τὸν πόλεμον ἐόντα ξυνόν.* || Δημόκριτος 250 *ἀπὸ ὁμονοίης τὰ μεγάλα ἔργα καὶ ταῖς πόλεσι τοὺς πολέμους δυνατὸν κατεργάζεσθαι, ἄλλως δ' οὔ.* Πρβλ. *ἔρις.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

**πολιήτης.** Πολίτης, citizen, Δημόκριτος 255.5 *καὶ τοὺς πολιήτας ὁμονόους εἶναι.*

**πόλις 1.** Πολιτεία/κράτος, city/state, Ξενοφάνης 2.9-20-22 *καί κεν σῖτ' εἴη δημοσίων κτεάνων ἐκ πόλεως καὶ δῶρον ὅ οἱ κειμήλιον εἴη ... σμικρὸν δ' ἄν τι πόλει χάρμα γένοιτ' ἐπὶ τῷ, εἴ τις ἀεθλεύων νικῷ Πίσαο παρ' ὄχθας· οὐ γὰρ πιαίνει ταῦτα μυχοὺς πόλεως* Ἡράκλειτος 121 *τοῖς ἀνήβοις τὴν πόλιν καταλιπεῖν* **2.** Πολιτεία/πολιτικὴ κοινωνία, political society, Ξενοφάνης 2.19 *τοὔνεκεν ἂν δὴ μᾶλλον ἐν εὐνομίῃ πόλις εἴη* Ἡράκλειτος 114 *ξὺν νόῳ λέγοντας ἰσχυρίζεσθαι χρὴ τῷ ξυνῷ πάντων, ὅκωσπερ νόμῳ πόλις, καὶ πολὺ ἰσχυροτέρως* Δημόκριτος 214 *ἔνιοι δὲ πολίων μὲν δεσπόζουσι, γυναιξὶ δὲ δουλεύουσιν* 250

Ακαδημία Αθηνών / Academy of Athens

*ἀπὸ ὁμονοίης τὰ μεγάλα ἔργα καὶ ταῖς πόλεσι τοὺς πολέμους δυνατὸν κατεργάζεσθαι, ἄλλως δ' οὔ* 252 *τὰ κατὰ τὴν πόλιν χρεὼν τῶν λοιπῶν μέγιστα ἡγεῖσθαι ... πόλις γὰρ εὖ ἀγομένη μεγίστη ὄρθωσίς ἐστι* **3.** Πόλη, city, Ἐμπεδοκλῆς 112.2 *ἀν' ἄκρα πόλεος* Ἀναξαγόρας 4.6 *καὶ τοῖς γε ἀνθρώποισιν εἶναι καὶ πόλεις συνῳκημένας καὶ ἔργα κατεσκευασμένα, ὥσπερ παρ' ἡμῖν.*

**πολιτική** (τέχνη). Πολιτική (τέχνη), statesmanship (art), Δημόκριτος 157 *τήν τε πολιτικὴν τέχνην μεγίστην οὖσαν ἐκδιδάσκεσθαι.*

**πολλαπλασίως.** Πολλαπλάσια, multiple, Ἀναξαγόρας 9 *ἡ δὲ ταχυτὴς αὐτῶν οὐδενὶ ἔοικε χρήματι τὴν ταχυτῆτα τῶν νῦν ἐόντων χρημάτων ἐν ἀνθρώποις, ἀλλὰ πάντως πολλαπλασίως ταχύ ἐστι.*

**πολλαχῆ.** Πολλὲς φορές, many times, Δημόκριτος 10 *ἐτεῇ μέν νυν ὅτι οἷον ἕκαστον ἔστιν ⟨ἢ⟩ οὐκ ἔστιν οὐ συνίεμεν, πολλαχῇ δεδήλωται.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

**πολλαχῶς.** Μὲ πολλοὺς τρόπους, in many ways, Διογένης 2.7 *εἰ γὰρ ... καὶ μὴ τὸ αὐτὸ ἐὸν μετέπιπτε πολλαχῶς καὶ ἑτεροιοῦτο, οὐδαμῇ οὔτε μίσγεσθαι ἀλλήλοις ἠδύνατο.*

**Πολογραφίη.** Πραγματεία περὶ τῶν πόλων, treatise on the poles, Δημόκριτος 15a (τίτλ.) *Πολογραφίη.* Πρβλ. *Γεωγραφίη, Οὐρανογραφίη.*

**πολύ** (τύπ. *πολλόν*). Πολύ, much, Ξενοφάνης 9 *ἀνδρὸς γηρέντος πολλὸν ἀφαυρότερος* 38.1 *εἰ μὴ χλωρὸν ἔφυσε θεὸς μέλι, πολλὸν ἔφασκον γλύσσονα σῦκα πέλεσθαι* Ἡράκλειτος 114 *ὅκωσπερ νόμῳ πόλις, καὶ πολὺ ἰσχυροτέρως* Ἐμπεδοκλῆς 2.9 *πεύσεαι οὐ πλέον ἠὲ βροτείη μῆτις ὄρωρεν* 3.10 *μήτε τιν' ὄψιν ἔχων πίστει πλέον ἢ κατ' ἀκουὴν ἢ ἀκοὴν ἐρίδουπον ὑπὲρ τρανώματα γλώσσης* 22.6 *ἐχθρὰ ⟨δ' ἃ⟩ πλεῖστον ἀπ' ἀλλήλων διέχουσι μάλιστα γέννῃ τε κρήσει τε καὶ εἴδεσιν ἐκμάκτοισι* 98.4 *εἴτ' ὀλίγον μείζων εἴτε πλεόνεσσιν (?) ἐλάσσων· ἐκ τῶν*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ